Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tqu-ac

*Ψευδο-Γαληνός* · Pseudo-Galen

# On Pulses to Antonius, Student of Discipline and Philosopher

*Περὶ Σφυγμῶν πρὸς Ἀντώνιον Μαθητὴν καὶ Φιλόσοφον*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

19 629 (t1) ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΦΥΓΜΩΝ ΠΡΟΣ ΑΝΤΩΝΙΟΝ ΦΙΛΟΜΑΘΗ ΚΑΙ ΦΙΛΟΣΟΦΟΝ. Σκοπὸν ἔχομεν ἐν τῷ παρόντι συγγράμματι περὶ τῆς τῶν σφυγμῶν πραγματείας σύντομον ἐκθέσθαι παράδοσιν, καὶ εἰπεῖν πρῶτον μὲν τί ἐστι σφυγμός· καὶ διὰ τί εἴρηται σφυγμός· καὶ τίς ἡ χρεία τοῦ σφυγμοῦ· καὶ τί ἐστιν ἡ ἀρτηρία. καὶ ἔλθωμεν ἐπὶ τὸν σκοπὸν καὶ ἀρκτέον ἀπὸ τοῦ πρώτου. σφυγμός ἐστι κίνησις καρδίας καὶ ἀρτηρίας κατὰ διαστολὴν καὶ συστολὴν γινομένη, πρὸς ἔμψυξιν τοῦ ἐμφύτου θερμοῦ καὶ ἀπόκρισιν τῶν λιγνυωδῶν περιττωμάτων.

19 630 εἴρηται δὲ σφυγμὸς παρὰ τὸ σφύζειν καὶ κινεῖσθαι. τριχῶς δὲ διαιροῦσιν αὐτοῦ, δύναμις ἡ ποιοῦσα τὴν κίνησιν, χρεία κατεπείγουσα, καὶ ὄργανον ὑπήκοον. ἔλθωμεν δὲ ἐπὶ τὴν ἀρτηρίαν. ἀρτηρία ἐστὶ σώματος ἐπίμηκες κυκλικὸν, δίκην σωλῆνος διχῇ διαιρούντων ἀπὸ καρδίας ἐρχόμενον καὶ ἐπὶ τὸ πᾶν σῶμα καταμεριζόμενον, ἀέρα καὶ πνεῦμα ζωτικὸν περιέχον. ἀρτηρία δὲ εἴρηται παρὰ τὸ τηρεῖν τὸν ζωτικὸν ἀέρα· αὕτη δὲ ἐκ τοῦ ἀριστεροῦ ὠτίου τῆς καρδίας ἐκ τῆς λεγομένης ἀορτῆς ἐκφύεται, ἥτις σχίζεται διχῇ, καὶ τὸ μὲν κάτω φέρεται διὰ τῶν ἔνδοθεν κάτω, καὶ μερίζεται δεξιὰ καὶ ἀριστερὰ ἐπὶ μηροὺς καὶ ἕως περάτων τῶν ποδῶν καὶ δακτύλων· τὸ δὲ ἕτερον αὐτῆς πάλιν ἄνω φερόμενον διαιρεῖται ὁμοίως δεξιὰ καὶ ἀριστερὰ εἰς χεῖρας καὶ κεφαλὴν φερόμενον, ποιεῖ τὰς καρωτίδας λεγομένας ἀρτηρίας. τὸ δὲ ἐπὶ δεξιὰ καὶ ἀριστερὰ ἔσωθεν φερόμενον· ἔρχεται ἐπὶ βραχίονας καὶ πήχεις καὶ μέχρι καρπῶν καὶ ἄκρων χειρῶν καὶ δακτύλων. εἶτα μετὰ τὸ εἰπεῖν ἡμᾶς ταῦτα εἴπωμεν καὶ περὶ τοῦ σκοποῦ· σκοπὸν ἔχει τὸ παρὸν σύγγραμμα διαγνώσεις εἰπεῖν, καὶ οἱονεὶ αἰτίας ἀπὸ τῆς τῶν σφυγμῶν κινήσεως ποιήσωμεν τῶν κατὰ φύσιν καὶ παρὰ φύσει καὶ τῶν οὐ φύσει, οἷον κράσεων, ἀνδρῶν τε καὶ γυναικῶν καὶ ἡλικιῶν καὶ ἄλλων συστοίχων.

19 631 τῶν γὰρ ἀνθρώπων οἱ μὲν ἄῤῥενες, αἱ δὲ θήλειαι· καὶ τούτων αὐτῶν οἱ μὲν γὰρ θερμότεροι κατὰ φύσιν, οἱ δὲ ψυχρότεροι. καὶ οἱ μὲν ἰσχνοὶ φύσει, οἱ δὲ πιμελώδεις καὶ πολύσαρκοι· καὶ οἱ μὲν ἄνδρες τῶν γυναικῶν ὡς ἐπίπαν θερμότεροι καὶ ἐῤῥωμενέστεροι κατὰ φύσιν εἰσίν. εἰκότως οὖν ἐπ’ αὐτῶν οἱ σφυγμοὶ ταχύτεροι καὶ σφοδρότεροι· τῶν δὲ γυναικῶν ὡς ψυχροτέρων βραδύτεροι καὶ ἀμυδρότεροι· ἐφ’ ἑκατέρων δὲ τούτων ἢ καθ’ ἑτέρων, λέγω δὴ ἀνδρῶν τε καὶ γυναικῶν, ἐπιταθεῖσα ἡ κρᾶσις ἐπιτείνει καὶ τοὺς σφυγμούς· εἰ μὲν ἐπὶ τὸ θερμότερον, μείζονας καὶ σφοδροτέρους ποιοῦσα. τὸ μὲν θερμὸν ταχυκίνητον. εἰ ἐπὶ τὸ ψυχρότερον, μικροτέρους καὶ βραδυτέρους· τὸ γὰρ ψυχρὸν βραδυκίνητον. τὸ δὲ τῆς ἕξεως τοῦτ’ ἔστιν ἐπ’ ἀμφοῖν εὑρίσκεται, οἷον τὸ ἰσχνὸν καὶ τὸ πολύσαρκον. ἐπὶ γὰρ τῶν ἰσχνῶν

ὑψηλότεροι ὑποπίπτουσι τῇ ἁφῇ οἱ σφυγμοὶ, ἐπὶ δὲ τῶν πιμελωδῶν καὶ πολυσάρκων ταπεινότεροι.

19 632 ἐπισκεπτέον οὖν καὶ τὰ σύστοιχα οἷον ὡρῶν, χωρῶν, ἡλικιῶν μερικῶν καταστήματα, καὶ ἔτι εἰπεῖν ἐπὶ μὲν τῶν ὡρῶν τοῦ ἔτους τεσσάρων ὄντων, οἷον ἔαρος, θέρους, φθινοπώρου, χειμῶνος· ὅτι τούτων εὔκρατοί εἰσι δύο, ἔαρ καὶ φθηνόν· δύσκρατοι δὲ δύο, χειμὼν καὶ θέρος. εἰκότως οὖν ἐν τῷ ἔαρι καὶ τῷ φθινοπόρῳ οἱ σφυγμοὶ μεγάλοι τέ εἰσι καὶ σφοδροὶ διὰ τὸ εὔκρατον τοῦ καταστήματος· δῆλον ὅτι κατὰ τὸ τῆς ἡλικίας ἀνάλογον. ἐν δὲ τῷ θέρει ταχύτεροι καὶ πυκνότεροι διὰ τὴν τοῦ περιέχοντος ἡμᾶς ἔξωθεν ἀέρος θερμότητα· ἐν δὲ τῷ χειμῶνι μικροὶ μὲν διὰ τὸ βαρῦσθαι τὴν δύναμιν, πυκνοὶ δὲ καὶ ταχεῖς διὰ τὴν κατεπείγουσαν χρείαν τῆς ἐγκυμονούσης καὶ τοῦ βρέφους, ἐπὶ δὲ τοῦ ὕπνου ἐπινενευκότες. πῶς γίνονται οἱ σφυγμοὶ καὶ μικροὶ καὶ ἀμυδρότεροι; δῆλον ὅτι τῆς ἐμφύτου θερμότητος εἰσδυνούσης ἐπὶ τὸ βάθος· ἐπὶ δὲ τῶν ἐπικτήτων κράσεων πρὸς τὰ ἐπελθόντα μεταβάλλονται καὶ αἱ κράσεις. ὡσαύτως καὶ ἐπὶ τῶν ἰσχνώσεων, ὡς ὅταν ἡ κατὰ φύσιν δύναμις πάσχῃ κατ᾽ οὐσίαν τινὸς κυρίου μορίου ἢ ὑπό τινος αἰτίου ποιοῦντος καὶ βαίνοντος αὐτήν.

19 633 ἔλθωμεν οὖν καὶ ἐπὶ τὰ οὐ φύσει, ταῦτά εἰσι γυμνάσια, λουτρὰ, σιτία πολλὰ, οἴνου πόσις, ὕδατος πολλοῦ πόσις· ὡσαύτως δὴ καὶ ἐπὶ τὰ παρὰ φύσει, τουτέστιν αἴτια, νοσήματα, ἅπερ ὁμοίως κατὰ τὰ προλεχθέντα ἐπισκέπτεσθαι δεῖ. ἰστέον δὲ ὅτι τὰ κατὰ φύσιν καὶ οὐ φύσει ἀμέτρως γινόμενα εἰς τὸ παρὰ φύσιν τρέπουσι τοὺς σφυγμούς. περὶ δὲ τῆς τῶν ἁπάντων ἀπολογίας τε καὶ διαφορᾶς τῶν κινήσεων. ὅταν οὖν ἐπ᾽ ἄῤῥωστον κληθεὶς ὃν οὔπω τεθέασαι, ἐπισκόπει πρῶτον μὲν ἢ ἄρσεν ἢ θῆλύ ἐστι· καὶ εἰ μὲν ἄρσεν, ἐννόει τὸν σφυγμὸν τοῦ ἄῤῥενος· εἰ δὲ θῆλυ, τῆς θελείας· εἶτα τὴν φύσιν τοῦ κάμνοντος καὶ τὴν ἡλικίαν αὐτοῦ καὶ μετὰ ταῦτα τὴν ὥραν τοῦ ἔτους καὶ τὴν χώραν καὶ συγκρίνας ἅπαντα καὶ στοχασάμενος ὁποῖον ἔδει σφυγμὸν ἔχειν τὸν κάμνοντα, ὁπότε ἦν ὑγιὴς, τότε γνώσεις ἀκριβῶς τὸ μέγεθος τῆς παρὰ φύσιν γινομένης παρατροπῆς τοῦ σφυγμοῦ· τούτων οὕτω προτεθέντων εἴπωμεν καὶ τὰ γένη τῶν σφυγμῶν.

19 634 γένη τῶν σφυγμῶν εἰσι δέκα. πρῶτον μὲν γένος τῶν σφυγμῶν ἐστι τὸ παρὰ τὸ ποσὸν τῶν διαστάσεων· τὸ δὲ ποσὸν κατὰ τὸ τρίτον διάστατον θεωρεῖται τυχὸν, κατά τε πλάτος καὶ μῆκος καὶ βάθος. εἰκότως οὖν ὁ οὕτως αὐξυνθεὶς κατὰ τὰς τρεῖς διαστάσεις καὶ ὑπερβὰς τὸ μέτρον λέγεται μέγας. δεύτερον γένος σφυγμῶν τὸ παρὰ τὸ ποσὸν τῆς κινήσεως τῆς ἀρτηρίας τῆς τε διαστολῆς καὶ συστολῆς, ἐν ᾧ θεωρεῖται ὁ ταχὺς καὶ ὁ βραδὺς καὶ ὁ σύμμετρος. τρίτον γένος τῶν σφυγμῶν τὸ περὶ τὸν τόνον τῆς δυνάμεως ἐν ᾧ θεωρεῖται σφοδρὸς καὶ ὁ ἀμυδρὸς καὶ ὁ σύμμετρος. ἡ γὰρ πυκνότης προλαβοῦσα τὸ μέγεθος ποιεῖ τὸν σφυγμὸν σφοδρόν· ὅτε γὰρ ἐπικρατήσει ἡ δύναμις τῶν αὐτῶν, τότε μᾶλλον γίνεται σφοδρὸς καὶ τὸ ἀνάπαλιν. τέταρτον γένος σφυγμῶν τὸ παρὰ τὴν σύστασιν τοῦ ὀργάνου, λέγω δὴ τοῦ τῆς ἀρτηρίας σώματος, ἐν ᾧ θεωρεῖται ὁ σκληρὸς καὶ ὁ μαλακὸς καὶ ὁ σύμμετρος. πέμπτον γένος σφυγμῶν τὸ παρὰ τὸ ποσὸν τῶν ἠρεμιῶν, ἐν ᾧ θεωρεῖται ὁ πυκνὸς καὶ ὁ ἀραιός· ὁ γὰρ βραχὺς χρόνος τῆς ἠρεμίας σημαίνει τὸ πυκνόν· ὁ δὲ μακρὸς τὸ ἀραιόν· ἀραιότεροι καὶ βραδύτεροι σφυγμοὶ γίνονται διὰ τὴν τοῦ περιέχοντος ψύξιν ἤγουν πίλησιν.

19 635 ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἑκάστης χώρας κατὰ τὴν ἐκείνης κρᾶσιν καὶ οἱ σφυγμοὶ μεταβάλλονται· εἰ μὲν γὰρ θερμοτέρα ἐστὶ, μεγάλους τε καὶ παχεῖς ποιεῖ τοὺς σφυγμούς· εἰ δὲ καὶ ψυχροτέρα, ποιεῖ τὸ ἀνάπαλιν. εἴπωμεν καὶ περὶ τῶν ἡλικιῶν, ἐπεὶ οὖν καὶ αἱ ἡλικίαι διάφοροί εἰσι καὶ οἱ σφυγμοὶ ἐπὶ τούτων διάφοροι κινηθήσονται. οἱ μὲν γὰρ τῶν παίδων σφυγμοὶ ταχεῖς εἰσιν, ἀμυδροὶ καὶ πυκνοί· κατὰ δὲ μέγεθος καὶ σφοδρότητα μέσοι· καὶ ταχεῖς μὲν ὅτι κατ᾽ οὐσίαν πλεονάζει ἐν αὐτοῖς τὸ ἔμφυτον θερμόν· πυκνοὶ δὲ διὰ τὴν ὑπερβάλλουσαν αὐτοῖς κατὰ τὸ ποσὸν θερμότητα· ἀμυδροὶ δὲ καὶ ἀτελεῖς ἐπ᾽ αὐτῶν αἱ δυνάμεις. μεμαθήκαμεν γὰρ ὅτι οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμυδροὶ ἐπ’ ἀῤῥωστίας δυνάμεως γίνονται. οἱ δὲ τῶν γερόντων τοὐναντίον βραδύτεροι καὶ ἀραιότεροι πρὸς τοὺς παῖδας διὰ τὴν ἐν ἑαυτοῖς ψυχρότητα.

19 636 οἱ δὲ τῶν ἀκμαζόντων μεγάλοι τε καὶ σφοδρότατοι διὰ τὸ ἐῤῥῶσθαι ἐπ’ αὐτῶν μᾶλλον τὰς δυνάμεις· ὁμοίως δὲ καὶ τὰ καταστήματα συμμεταβάλλουσι τὰς κράσεις καὶ τοὺς σφυγμοὺς, ὡς γὰρ προείρηται, τὸ περιέχον συμμεταβάλλει τὸ περιεχόμενον πρὸς τὴν οἰκείαν αὐτοῦ κρᾶσιν. ἐπεὶ δὲ τῶν ἐγκυμονουσῶν γυναικῶν οἱ σφυγμοὶ μικροί τέ εἰσι καὶ πυκνοὶ καὶ ταχεῖς. ἕκτον γένος σφυγμῶν τὸ παρὰ τὴν ὁμαλότητα καὶ τὴν ἀνωμαλίαν, ἥτις θεωρεῖται καὶ ἐν ἑνὶ σφυγμῷ καὶ ἐν πλείοσιν. ἐν ἑνὶ μὲν ὡς ἐπὶ δορκαδίζοντος καὶ τοῦ δικρότου· ἡ δὲ ἐν πλείοσι γινομένη λέγεται συστηματικὴ ἀνωμαλία· ὅπου δέ ἐστιν ἀνωμαλία, ἐκεῖ καὶ ἀταξία ὡς ἐπίπαν. εἰ γὰρ διαπίπτει ἡ μία πληγὴ ἢ παρεμπίπτει καὶ τοῦτο γίνεται βαρυνομένης τῆς δυνάμεως καὶ θλιβομένης ὑπό τινος αἰτίας. ἕβδομον γένος σφυγμῶν ἐστι τὸ παρὰ τὴν τάξιν καὶ ἀταξίαν. τμηθέντος γὰρ τοῦ ἀνωμάλου σφυγμοῦ εἰς τὸ κατὰ περιόδους ἴσον τε καὶ ἄνισον ὁ ἄτακτος γίνεται, καὶ οὕτως θεωρεῖται πάλιν κατὰ μίαν πληγὴν καὶ κατὰ τὰς ἀνταποδόσεις. ὄγδοον γένος σφυγμῶν τὸ παρὰ τὸ πλῆρες καὶ κενὸν, τουτέστι τῷ παρὰ τῆς ἀρτηρίας χύματι, πᾶν γὰρ ἀγγεῖον ἢ πλῆρες ἢ κενόν ἐστιν.

19 637 ἔννατον γένος σφυγμῶν τὸ παρὰ τὸν ἀριθμὸν, ἐν ᾧ μετρεῖται ἀναλογία χρόνου πρὸς χρόνον, ὅθεν οἱ παρεμπίπτοντες, οἱ διαλείποντες. δέκατον γένος σφυγμῶν ἐστι τὸ παρὰ τὴν θερμασίαν τὴν ἀναδιδομένην διὰ τοῦ σώματος τῆς ἀρτηρίας, ἐν ᾧ θεωρεῖται τὸ ποιὸν τῆς ὑποκειμένης ὕλης τοῦ σώματος διὰ τῆς ἁφῆς οἷον τὸ δύσκρατον καὶ τὸ δακνῶδες. εἰπόντες οὖν τὰ δέκα γένη τῶν σφυγμῶν εἴπωμεν καὶ ἐν ἐπιτόμῳ ὀλίγας αἰτίας καὶ διαφορὰς αὐτῶν διὰ τὸ μηκῦναι τὴν πραγματείαν, ἵνα μὴ γένηται εἰς ὄγκον τῶν εἰσαγομένων. εἰ γάρ τις ἐπὶ τὸ ἀκριβέστερον αὐτῶν ἔρχεσθαι βούλοιτο ἓξ καὶ δέκα εἰσὶ βίβλοι περὶ τῆς τῶν σφυγμῶν πάσης πραγματείας. ἐγὼ δὲ τοῦ μήκους φειδόμενος ἐν ὀλίγοις κεφαλαίοις ὀλίγας τινὰς διαφορὰς καὶ αἰτίας σφυγμῶν ἐν ἐπιτόμῳ εἴπω. διὰ ποίαν αἰτίαν σφύζουσιν αἱ ἀρτηρίαι; διὰ τὸ φυλάττεσθαι σύμμετρον τὴν κατὰ φύσιν θερμότητα τῇ τε καρδίᾳ καὶ πᾶσι τοῖς μέρεσι. τί διαφέρει παλμὸς σφυγμοῦ; ὅτι ὁ μὲν παλμὸς δι’ ἔκπτωσιν τοῦ πνεύματος γίνεται καὶ ἐν παντὶ τῷ σώματι· ὁ δὲ σφυγμὸς ἐνεργείᾳ δυνάμεως κινεῖται καὶ ἐν ἀρτηρίαις μόναις.

19 638 τί διαφέρει ὁ μέγας σφυγμὸς τοῦ σφοδροῦ; ὅτι ὁ μὲν μέγας κατὰ τὰς τρεῖς διαστάσεις θεωρεῖται, ὁ δὲ σφοδρὸς κατὰ τὴν κίνησιν, τόνον γὰρ δυνάμεως σημαίνει. τί διαφέρει ὁ πυκνὸς σφυγμὸς τοῦ ταχέος; κατὰ τὸ συνεχὲς καὶ διωρισμένον, τὸ γὰρ πυκνὸν ὃ καὶ συνεχὲς λέγεται, τὸ δὲ ταχὺ διωρισμένον, οἷον τρέχει τις ὀξέως καὶ ἵσταται. τί διαφέρει ὁ ἀραιὸς σφυγμὸς τοῦ βραδέος; ὅτι ὁ ἀραιὸς ἐπὶ ἀσθενεστέρας μᾶλλον δυνάμεως γίνεται καὶ οἱ ἀραιοὶ σφυγμοὶ χαλεπώτεροι. πόσαι γε διαφοραὶ γίνονται ἐν τῇ διαστολῇ τοῦ σφυγμοῦ; ὀκτὼ, μέγεθος, σμικρότης, σφοδρότης, ἀμυδρότης, ταχύτης, βραδύτης, σκληρότης, μαλακότης. πόσα ἐστὶ ποιητικὰ αἴτια σφυγμοῦ; δύο, ἡ δύναμις ἡ ποιοῦσα καὶ κινοῦσα τὸ σῶμα τοῦ ἀγγείου καὶ ἡ χρεία δι’ ἣν κινοῦται τὸ κινούμενον. πόσα κριτήρια σφυγμῶν; δύο· νοῦς καὶ αἴσθησις, καὶ ἡ μὲν αἴσθησις κρίνει τὰ παρόντα, ὁ δὲ νοῦς τὰ προγεγονότα καὶ τὰ μέλλοντα. ποσαχῶς θεωρεῖται ὁ σύμμετρος σφυγμός; τετραχῶς, κατὰ τὸ μέγεθος, κατὰ τὸ τάχος, κατὰ σφοδρότητα καὶ πυκνότητα.

19 639 τί διαφέρει ὁ ἀνώμαλος σφυγμὸς τοῦ ἀτάκτου; ὅτι ὁ μὲν ἀνώμαλος καὶ ἐν ἑνὶ σφυγμῷ θεωρεῖται καὶ ἐν πλείοσιν· ἢ γὰρ κατὰ μίαν διαστολὴν πρὸς συστολὴν ἢ κατὰ πλείονας συναθροιζομένας, ἥτις λέγεται συστηματικὴ ἀνωμαλία ἐν πλήθει σφυγμῶν θεωρουμένη, ὁ δὲ ἄτακτος γίνεται κατὰ ῥυθμόν. τί διαφέρουσιν οἱ διαλείποντες σφυγμοὶ τῶν παρεμπιπτόντων; ὅτι οἱ διαλείποντες σφυγμοὶ ἐπὶ τῇ ἀσθενεστέρᾳ δυνάμει γίνονται, βαρυνομένης γὰρ καὶ ἐκλυομένης τῆς δυνάμεως γίνονται οἱ διαλείποντες· οἱ δὲ παρεμπίπτοντες μαχομένης ἔτι καὶ ἀνθισταμένης. συντείνει γὰρ ἑαυτὴν ἐπαναστῆναι βουλομένην ἐξωθεῖν τὰ λυποῦντα· καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δοκοῦσιν εἶναι οἱ διαλείποντες σφυγμοὶ τῶν παρεμπιπτόντων. τί διαφέρει ὁ σπασμώδης σφυγμὸς τοῦ κλονώδους; ὅτι ἐπὶ μὲν τοῦ σπασμώδους τείνεται ἡ ἀρτηρία δίκην χορδῆς τεταμένης, ἐπὶ δὲ τοῦ κλονώδους μεταφέρεται ἐπὶ δεξιὰ καὶ ἀριστερά. πῶς γίνονται κυματώδεις οἱ σφυγμοί; ἐκ πλεονεξίας τοῦ περιεχομένου ὑγροῦ, διατρέχοντος τὸ σῶμα τῆς ἀρτηρίας ὡς ἐπὶ τῶν ἀσάρκων.

19 640 τί διαφέρει ὁ δορκαδίζων τοῦ δικροτίζοντος; ὅτι ὁ μὲν δορκαδίζων ἐν μιᾷ συστολῇ διαφόρους ποιεῖται τὰς κινήσεις, ὡς ἡ δορκὰς ἀναπηδῶσα ἅλλεται τοῖς ποσὶν εἰς τὸν ἀέρα· τοῦτο δὲ γίνεται βαρυνομένης τῆς δυνάμεως καὶ βαρυνομένης ὑπὸ τοῦ αἰτίου τοῦ θλίβοντος αὐτήν. ὁ δὲ δικροτίζων δὶς ἐν τῷ αὐτῷ κρούει τὴν πληγήν· τοῦτο δὲ γίνεται διὰ σκληρότητα τοῦ σώματος τῆς ἀρτηρίας, ἀνακρούοντος γὰρ καὶ παλινδρομοῦντος καὶ βίᾳ φερομένου τοῦ πνεύματος ἐπὶ δευτέραν ἔρχεται πληγὴν ὡς ἐπὶ ἀγκῶνα σφαῖρα. τί διαφέρει ὁ σκωληκίζων σφυγμὸς τοῦ μυρμηκίζοντος; ὅτι ὁ μὲν σκωληκίζων πολλάκις ἀνακάμπτει καὶ ἔρχεται ἐπὶ τὸ κρεῖττον καὶ φανερὰν μᾶλλον ἔχει τὴν ἀνωμαλίαν. ὁ δὲ μυρμηκίζων δυσχερῶς ἀνακάμπτει ἐπὶ τὰ μείζονα ὑποκειμένων τῶν λειποθυμιῶν, ἀφανῆ δὲ ἔχει τὴν ἀνωμαλίαν, διὰ τὴν ὑπερβάλλουσαν τούτῳ κατάπτωσιν τῆς δυνάμεως, ἔτι δ’ ὅτι καὶ θάνατον σημαίνει. ποῖοι σφυγμοὶ κάκιστοι; οἱ ἀραιοὶ καὶ οἱ διαλείποντες, ἐπιτεινομένης γὰρ ἀραιότητος οἱ διαλείποντες γίνονται, χαλεπωτέρα δέ ἐστιν ἡ ἀραιότης τοῦ σφυγμοῦ καὶ μάλιστα ἐπὶ τῶν ἀκμαζόντων.

19 641 περὶ τοῦ γνῶναι σφυγμῶν. κράτησον τὸν σφυγμὸν καὶ εἰ μὲν ῥίπτει πυκνὰ καὶ πολλὰ, ἕως ὀψὲ τελευτᾷ· κράτησον τὸν σφυγμὸν καὶ εἰ μὲν ῥίπτει δύο ἔξω καὶ μίαν ἔσω, ἕως ἡμέρας δύο ἐστὶν ἡ ζωὴ αὐτοῦ· εἰ δὲ ῥίπτει μίαν ἔξω καὶ δύο ἔσω, ἀδυναμίαν ἔχει τὸ σῶμα καὶ ὑγιαίνει· εἰ δὲ γαληνόν ἐστι τὸ σύνολον, εἰς τὰς πύλας τοῦ θανάτου ἐστίν. περὶ σφυγμῶν· οἱ σφυγμοὶ τῶν χυμῶν· τοῦ αἵματος κάθυγρος, μέγας, πυκνὸς καὶ γέμων· καὶ τὰ μὲν συμπτώματα αὐτοῦ κεφαλῆς ὀδύναι σφοδρόταται καὶ ὅλον τὸ σῶμα πυρῶδες. τῆς ξανθῆς χολῆς ὁ σφυγμὸς λεπτὸς, ξηρὸς πίπτων· συμπτώματα δὲ αὐτοῦ γαστρὸς στένωσις καὶ στρόφος περὶ τὴν κοιλίαν. τῆς μελαίνης χολῆς ὁ σφυγμὸς λεπτότερος καὶ ξηρότερος καὶ ἀραιὸς, συμπτώματα δὲ αὐτοῦ γονάτων βάρος καὶ πόνοι περὶ τὴν ψυχήν. τοῦ φλέγματος ὁ σφυγμὸς μέγας καὶ σπαραγμώδης, ὑγρὸς, ὑδατώδης, ἀραιὸς καὶ ἰσόσταθμος· συμπτώματα δὲ τούτου πλευρῶν πόνοι καὶ ὑγρὰ τὰ διὰ γαστρὸς φερόμενα καθ’ ἑκάστην ἡμέραν καὶ ὀδύναι σφοδραὶ τὴν κεφαλὴν αὐτοῦ λαμβάνουσι καὶ ὁ πυρετὸς ἐπὶ πλεῖον μακρύνει, καὶ ἐπὶ μὲν τοῦ αἵματος φλεβοτομείτω ὁ νοσῶν· ἐπεὶ δὲ αἷμα θερμὸν καὶ ὑγρὸν ὑπάρχει, μεταλύει ἡ τροφὴ αὐτοῦ ψυχρὰ καὶ ὑγρὰ καὶ γλυκεῖα· ἡ χολὴ ἡ μέλαινά ἐστι ψυχρὰ καὶ ξηρὰ καὶ μεταλύει ἡ τροφὴ αὐτῆς κάτω ἄνωθεν· εἴπομεν θερμὰ καὶ ὑγρὰ καὶ γλυκέα ὁμοίως καὶ τῶν ἑτέρων χυμῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org